Odysseus asks for directions from Athena, who is disguised as a young girl.

"ὦ τέκος, οὐκ ἄν μοι δόμον ἀνέρος ἡγήσαιο
Ἀλκινόου, ὃς τοῖσδε μετ' ἀνθρώποισι ἀνάσσει;
καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω
τηλόθεν ἐξ ἀπίης γαίης· τῷ οὔ τινα οἶδα
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν."

τὸν δ' αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·

"τοιγὰρ ἐγώ τοι, ξεῖνε πάτερ, δόμον, ὅν με κελεύεις,
δείξω, ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει.
ἀλλ' ἴθι σιγῇ τοῖον, ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω,
μηδέ τιν' ἀνθρώπων προτιόσσεο μηδ' ἐρέεινε.
οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται,
οὐδ' ἀγαπαζόμενοι φιλέουσ' ὅς κ' ἄλλοθεν ἔλθῃ.
νηυσὶ θοῇσιν τοί γε πεποιθότες ὠκείῃσι
λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεί σφισι δῶκ' ἐνοσίχθων·
τῶν νέες ὠκεῖαι ὡς εἰ πτερὸν ἠὲ νόημα."

Homer Odyssey 7.22-36

1A 2 2011

ἀνέρος: genitive of ἀνήρ
ταλαπείριος, –ον: "experienced in endurance", "long-suffering"
ἀπίος, –η, –ον: "far away"
τῷ: dative singular neuter of ὁ, ἡ, τό, here used as a pronoun = "so"
τοῖον: neuter of τοῖος used adverbially = "like so"
προτιόσσομαι: "look at"
ὠκύς, –εῖα, –ύ: "swift"
λαῖτμα, –ατος (n.): "deep"
ἐνοσίχθων, –ονος (m.): "shaker of earth" = Poseidon